B. XII, 59 – 66: Νίκας ἐ]ρ[ικ]υδέος ἀν|θρώπο]ισιν ἄνθεα, | ἃ κλυτ]ὰν δόξαν πολύφαντον ἐν αἰ|θέρι τρέφει παύροις βροτῶν | αἰ]εί, καὶ ὅταν θανάτοιο | κυάνεον νέφος καλύψηι, λείπεται | ἀθάνατον κλέος εὖ ἐρ-|χθέντος ἀσφαλεῖ σὺν αἴσαι.

Py. I, 92—4: ὀ π ι θ ό μ β ρ ο τ ο ν α ὔ χ η μ α δ ό ξ α ς | οἷον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει | καὶ λογίοις καὶ ἀοιδοῖς:

Nem. VI, 29 seq.: παροιχομένων γὰρ ἀνέρων | ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν.

Eaedem sententiae apud Theognidem quoque, vv. 237—52, inveniuntur: σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον | πωτήσῃ καὶ γῆν πᾶσαν ἀειράμενος | ῥηϊδίως· θοίνῃς δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ | ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασιν· — — — (v. 243) καὶ ὅταν δνοφερῆς ὑπὸ κεύθεσι γαίης | βῇς πολυκωκύτους εἰς 'Αίδαο δόμους, | οὐδὲ τότ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις | ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα, | Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος ἠδ' ἀνὰ νήσους, ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον, | οὐχ ἵπποις θνητοῖσιν ἐφήμενος· ἀλλά σε πέμψει | ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων· | πᾶσι γάρ, οἶσι μέμηλε, καὶ ἐσσομένοισιν ἀοιδὴ | ἔσσῃ ὁμῶς, ὄφρ' ἂν ᾖ γῆ τε καὶ ἠέλιος[3]).

Denique, cum sententia quae in B. XII, 61 seq: ἃ κλυτ]ὰν δόξαν πολύφαντον ἐ ν α ἰ | θ έ ρ ι][4]) τ ρ έ φ ε ι, et VIII, 82—4: τό [γέ]

[1]) Cf. Nem. VII, 31 seq. et Isth. VII, 30. [2]) Cf. Ol. IV, 11.
[3]) Locum afferunt Blass et Jurenka. [4]) Cf. etiam Nem. VIII, 40—2: αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον ᾄσσει, | ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε πρὸς ὑγρὸν | αἰθέρα.

τοι καλὸν ἔργον | — — — | ὑψοῦ παρὰ δαίμοσι κεῖται, confer P. frg. 227: νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι | δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ | ἔργα μ ε τ' α ἰ θ έ ρ α λαμπευθέντα[1]).

16. Cum veritate coniuncta optime Musa hominis gloriam tuetur:

B. VIII, 85—8: σὺν δ' ἀλαθείαι[2]) βροτῶν | κάλλιστον, εἴπ[ερ καὶ θάνῃι τις, | λείπεται Μουσᾶν [βαθυζώνων ἄθυ]ρμα:

Ol. X, 3—5: ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ | Ἀλάθεια Διός, ὀρθᾷ χερὶ | ἐρύκετον ψευδέων | ἐνιπὰν ἀλιτοξένων.

17. Probatione praestantia hominis agnoscitur, velut aurum coticula:

B. frg. 14: Λυδία μὲν γὰρ λίθος | μανύει χρυσόν, ἀν|δρῶν δ' ἀρετὰν σοφίαν τε | παγκρατὴς ἐλέγχει ἀλά|θεια:

Py. X, 67 seq.: πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει | καὶ νόος ὀρθός.

Huc pertinent ni fallor etiam

B. frg. 33: χρυσὸν βροτῶν γνώμαισι μανύει καθαρόν, et

P. frg. 122, 16: διδάξομεν χρυσὸν καθαρᾷ βασάνῳ.

18. Tempus veritatem arguit:

B. XII, 204—7: ἁ δ' ἀλαθεία φιλεῖ | νικᾶν, ὅ τε πανδαμάτωρ | χρόνος τὸ καλῶς | ἐργμένον αἰὲν ἀ[έξαι:

Ol. X, 53—5: ὅ τ' ἐξελέγχων μόνος | ἀλάθειαν ἐτήτυμον | χρόνος[3]):
P. frg. 159: ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος:
Ol. I, 34 seq.: ἁμέραι δ' ἐπίλοιποι | μάρτυρες σοφώτατοι[4]).

Simonides quoque simile quid dicit, frg. 4, 4 seq.: ἐντάφιον δὲ τοιοῦτον οὔτ' εὐρὼς | οὔθ' ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος | κτλ.[5]).

---

[1]) Blass et Jurenka. [2]) Cf. B. III, 96—8 et VII, 42 seq.
[3]) Locum afferunt Fraccaroli et Jurenka, et Blass ad B. frg. 14. [4]) Jurenka. Idem affert etiam CIG. II, 2976, 4: πανδαμάτωρ δὲ χρόνος εἶξεν ἀργηγοσύνῃ. Confer porro P. frg. 227 (supra). [5]) Kenyon et Jurenka.

II. Imagines vel locutiones translatae.

Deinde locos tractare velim, quibus imagines quaedam vel similes apud utrumque poetam locutiones translatae continentur. Quarum primam constituendam esse censeo imaginem viae, quippe qua saepissime hi poetae utantur. Primum igitur tecum reputa eos locos quibus sub viae imagine depingitur poesis, vel cantus:

B. XVIII, 1—8: πάρεστι μυρία κέλευθος | ἀμβροσίων μελέων, | ὃς ἂν παρὰ Πιερίδων λά|χησι δῶρα Μουσᾶν, | ἰοβλέφαροί τε καὶ | φερεστέφανοι Χάριτες | βάλωσιν ἄμφι τιμὰν | ὕμνοισιν:

B. V, 31—4: τὼς νῦν καὶ (ἐ)μοὶ μυρία πάνται κέλευθος | ὑμετέραν ἀρετὰν | ὑμνεῖν, κυανοπλοκάμου θ' ἕκατι Νίκας, | χαλκεοστέρνου τ' Ἄρηος[1]):

B. frg. 27: εἰ δὲ λέγει τις ἄλλως, πλατεῖα κέλευθος:

B. XVIII, 12—4: πρέπει σε[3]) φερτάταν ἴμεν | ὁδὸν παρὰ Καλλιόπας λα|χοῖσαν ἔξοχον γέρας:

Isth. II, 33 seq.: οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται, | εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων:

P. frg. 191: Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.

Isth, III, 19—21: ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος, | ὦ Μέλισσ', εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις, | ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν[2]):

Nem. VI, 45 seq. et 53 seq.: πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι | νᾶσον εὐκλέα τάνδε κοσμεῖν· (ἐπεί σφιν Αἰακίδαι | ἔπορον ἔξοχον αἶσαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας). — — — καὶ ταῦτα μὲν παλαιότεροι | ὁδὸν ἀμαξιτὸν εὗρον· ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν:

Ol. I, 112—4: ἔτι γλυκυτέραν κεν ἔλπομαι | σὺν ἅρματι θοῷ κλεΐξειν, ἐπίκουρον εὑρὼν ὁδὸν λόγων, | παρ' εὐδείελον ἐλθὼν Κρόνιον:

Nem. VII, 50 seq.: Αἴγινα, τεῶν Διός τ' ἐκγόνων θρασύ μοι τόδ' εἰπεῖν | φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων:

---

[1]) De hoc loco et B. VIII, 47 seqq., quorum utroque Bacchylidem Pindarum imitatum esse puto, vide quae infra, c. II, s. f. dicam. [2]) Kenyon, Blass, Jurenka locum afferunt. [3]) I. e. „Κηΐα μέριμνα“ (v. 11).

B. IX, 51 seq.: τί μακρὰν γλῶσσαν ἰθύσας ἐλαύνω | ἐκτὸς ὁδοῦ:
B. V, 195—7: πειθόμεθ' εὐμαρέως | εὐκλέα κελεύθου γλῶσσαν οὔ[κ ἐκτὸς θεῶν | πέμπειν Ἱέρωνι:

Py. IV, 247 seq.: μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥρα γὰρ συνάπτει καί τινα | οἶμον ἴσαμι βραχύν· πολλοῖσι δ' ἄγημαι σοφίας ἑτέροις:
Py. XI, 38 seq.: ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον τρίοδον ἐδινάθην, | ὀρθὰν κέλευθον ἰὼν τοπρίν.

Neque prorsus inter se discrepantes sunt loci duo quibus de verborum vel hymnorum porta agitur, sc.

B. frg. 5,2: οὐδὲ γὰρ ῥᾷστον ἀρρήτων ἐπέων πύλας | ἐξευρεῖν:

Ol. VI, 27: χρὴ τοίνυν πύλας ὕμνων ἀναπιτνάμεν αὐταῖς.

Deinde imagine poeta uterque via utitur quam ingreditur fama:

B. VIII, 47—50: στείχει δι' εὐρείας κελεύθου | μυρία πάντᾳ φάτις | σᾶς γενεᾶς λιπαρο|ζώνων θυγάτρων:

Isth. VI, 22 seq.: μυρίαι δ'ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι | καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους[1]).

Deinde viae quibus incedentes viri gloriam assequi possunt:

B. IX, 35—8: ματεύει | δ' ἄλλ[ος ἀλλοί]αν κέλευθον, | ἄντι[να στείχ]ων ἀριγνώτοιο δόξας | τεύξεται. μυρίαι δ' ἀνδρῶν ἐπιστᾶμαι πέλονται:

Nem. I, 25: τέχναι δ' ἑτέρων ἕτεραι· χρὴ δ' ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ:
Ol. IX, 104—8: ἐντὶ γὰρ ἄλλαι | ὁδῶν ὁδοὶ περαίτεραι, | μία δ' οὐχ ἅπαντας ἄμμε θρέψαι | μελέτα· σοφίαι μὲν | αἰπειναὶ κτλ.[2]):
Ol. VI, 72 seq.: τιμῶντες δ' ἀρετὰς | ἐς φανερὰν ὁδὸν ἔρχονται:
Isth. V, 22—5: εἰ δὲ τέτραπται | θεοδότων ἔργων κέλευθον ἂν καθαράν,[3]) | μὴ φθόνει κόμπον κτλ.:
Ol. VIII, 13 seq.: πολλαὶ δ' ὁδοὶ | σὺν θεοῖς εὐπραγίας:
P. frg. 108: θεοῦ δὲ δείξαντος ἀρχάν, | ἕκαστον ἐν πρᾶγος εὐ-

---

[1]) De quibus locis, ut dixi, vide infra c. II, s. f. [2]) Jurenka.
[3]) Cf. Ol. VI, 22 seqq. (infra p. 24).

θεῖα δὴ | κέλευθος ἀρετὰν ἑλεῖν, | τελευταί τε καλλίονες[1]).

Deinde de via iustitiae mentionem facit Bacchylides X, 26 seq.: δίκας κέλευθον | εἰ μή τις ἀπέτραπεν ὀρθᾶς:

Ol. VII, 45—7 et 90—2: ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος | καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν | ἔξω φρενῶν[2]). — — — — ἐπεὶ ὕβριος ἐχθρὰν ὁδὸν | εὐθυπορεῖ, σάφα δαεὶς ἅ τε Ϝοι πατέρων ὀρθαὶ φρένες ἐξ ἀγαθῶν | ἔχραον.

Denique hic commemorandas esse puto locutiones singulas apud hos de quibus agitur poetas, quamquam non de eadem re dicuntur, e. g. εὐτυχίας ὁδός, B. frg. 11,1; ἀλαθείας ὁδῶν, Isth. II,10, vel ἀλαθείας ὁδόν, Py. III, 103; σοφίας ὁδόν, P. frg. 107,4; σιγᾶς ὁδός, P. frg. 180,2, quibus locis non omnino repugnat etiam B. XVI, 89: μοῖρα δ' ἑτέραν ἐπόρσυν' ὁδόν.

2. Imaginem currus semel Bacchylides adhibet, saepius autem Pindarus. Currus enim Musarum commemoratur

B. V, 176 seqq.: λευκώλενε Καλλιόπα, | στᾶσον εὐποίητον ἅρμα αὐτοῦ· Δία τε Κρονίδαν | ὕμνησον Ὀλύμπιον ἀρχαγὸν θεῶν | κτλ.:

Isth. VIII, 61—3: ἔσσυταί τε | Μοισαῖον ἅρμα Νικοκλέος | μνᾶμα πυγμάχου κελαδῆσαι. γεραίρετέ νιν, ὃς κτλ.[3]):

Py. X, 64—6: πέποιθα ξενίᾳ προσανέι Θώρακος, ὅσπερ ἐμὰν ποιπνύων χάριν | τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον, | φιλέων φιλέοντ', ἄγων ἄγοντα προφρόνως[3]):

Ol. IX, 80 seq.: εἴην εὑρησιεπὴς ἀναγεῖσθαι | πρόσφορος ἐν Μοισᾶν δίφρῳ:

Isth. II, 1 seq.: οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων | ἐς δίφρον Μοισᾶν ἔβαινον κλυτᾷ φόρμιγγι συναντόμενοι.

[1]) Cf. Py. IX 45 et 68 seq. [2]) Cf. B. X, 34 seq.: ἀλλ' ἢ θεὸς αἴτιος, ἢ | γνῶμαι πολύπλαγκτοι βροτῶν. [3]) Jurenka.

μινύθει | βροτῶν ἅμα σ[ώμα]τι φέγγος, ἀλλὰ | Μοῦσά νιν τρ[έφει]:

κάλλιπεν θανάτοι' αἶσαν γλυκυτάταν γενεᾷ, | εὐώνυμον κτεάνων κρατίσταν χάριν πορών: confer etiam Py. III, 114 seq.: ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς | χρονία τελέθει, παύροις δὲ πράξασθ' εὐμαρές.

Denique confer B. III, 90 seq. et I, 159 seq.: μέγιστον | κῦδος ἔχειν ἀρετὰν cum Theog. 867: ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται.

14. Magna gloria semper sicui praemium ludorum magnificum contigerit:

B. VII, 8—10: ᾧι δὲ σὺ (i. e. dies, quo coronae victoribus Olympiae tribui solitae sunt) πρεσβύτατον νείμῃς γέρας | νίκας ἔπ', ἀνθρώποισιν εὔδοξος κέκλη|ται καὶ πολυζήλωτος:

B. XII, 58—63: θάλλει παρ]ὰ βωμὸν ἀριστάρχου Διὸς | Νίκας ἐ]ρ[ικ]υδέος ἀν|θρώπο]ισιν ἄνθεα, | ἃ κλυτ]ὰν δόξαν πολύφαντον ἐν αἰ|θέρι] τρέφει παύροις βροτῶν | αἰ]εί:

B. IX, 52 seq.: πέφαται θνατοῖσι νίκας | ὕστε]ρον εὐφροσύνα.

Ol. I, 100—2: ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον | ἔχει μελιτόεσσαν εὐδίαν | ἀέθλων γ'ἕνεκεν[1]):

Ol. VIII, 10 seq.: μέγα τοι κλέος αἰεί, | ᾧτινι σὸν (sc. Πίσας) γέρας ἕσπητ' ἀγλαόν:

Py. III, 114 seq: ὁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς | χρονία τελέθει, παύροις δὲ πράξασθ' εὐμαρές[2]).

15. De gloria: gloria se supra terram mareque in alto vertitur:

B. XII, 175—81: οὐ γὰρ ἀλα[μπέσ]ι νυ[κτὸς | πασιφανὴς 'Αρετὰ | κρυφθεῖσ' ἀμαυρο[ῦται δνόφοισιν, | ἀλλ' ἔμπεδον ἀκ[μάται | βρύουσα δόξαι | στρωφᾶται κατὰ γᾶν [τε | καὶ πολύπλαγκτον θ[άλασσαν[3]):

Isth. III, 58—60: τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, | εἴ τις εὖ Ϝείπῃ τι· καὶ πάγκαρπον ἐπὶ χθόνα καὶ διὰ πόντον βέβακεν | ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί:

Nem. VI, 46—9: ἐπεί σφιν Αἰακίδαι | ἔπορον ἔξοχον αἶσαν ἀρετὰς

---

[1]) Jurenka. [2]) Ad B. III, 61 seq. (= vv. 91 seq. ed. Germ.): πράξα[ντι] δ' εὖ | οὐ φέρει κόσμον σιωπά et B. V, 90 (= v. 190) affert Jurenka Ol. IV, 4, Ol. XI, 4, Py. I, 99, Isth. V, 13. [3]) Cf. B. V, 16—32, et si placet etiam IX, 1—8, locum sane incertissimum.

Ol. XIII, 49—52: ἐγὼ δὲ Ϝίδιος ἐν κοινῷ σταλείς, | μῆτίν τε γαρύων κτλ.

Nem. III, 26 seq.: θυμέ, τίνα πρὸς ἀλλοδαπὰν | ἄκρον ἐμὸν πλόον παραμείβεαι;

Py. X, 51—4: κώπαν σχάσον, ταχὺ δ' ἄγκυραν ἔρεισον χθονὶ | πρῴραθε, χοιράδος ἄλκαρ πέτρας. | (ἐγκωμίων γὰρ ἄωτος ὕμνων | ἐπ' ἄλλοτ' ἄλλον ὥτε μέλισσα θύνει λόγον)[1]):

Py. XI, 38—40: (ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον τρίοδον ἐδινάθην, | ὀρθὰν κέλευθον ἰὼν τοπρίν·) ἤ μέ τις ἄνεμος ἔξω πλόου | ἔβαλεν, ὡς ὅτ' ἄκατον εἰναλίαν[1]).

Deinde loci apud hos poetas inveniuntur quibus carmina sub nomine mercum vel onerum in navem impositorum commemorantur:

B. XV, 2—4: ὁλκ]άδ' ἔπεμψεν ἐμοὶ χρυσέαν | Πιερ]ίαθε[ν ἐΰθ]ρονος Οὐρανία, | πολυφ]άτων γέμουσαν ὕμνων:

Py. II, 67 seq.: τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν | μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται[2]):

Nem. V, 2—3: ἀλλ' ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ' ἀοιδά, | στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλοισ', ὅτι κτλ.[3]).

4. Translatio textus, in primis textus carminum:

B. V, 9—14: ἦ σὺν Χαρίτεσσι βαθυζώνοις ὑφάνας | ὕμνον ἀπὸ ζαθέας | νάσου ξένος ὑμετέραν πέμπει κλεεννὰν ἐς πόλιν, | χρυσάμπυκος Οὐρανίας κλεινὸς θεράπων:

B. XVIII, 8—11: ὕφαινέ νυν ἐν | altero loco eoque qui sequitur

Nem. IV, 44 seq.: ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, | Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον[4]):

P. frg. 179: ὑφαίνω δ' Ἀμυθαονίδαις ποικίλον ἄνδημα:

[1]) Jurenka. [2]) Jurenka (Crusius). [3]) Jurenka. Confer porro Ol. IX, 21-5. [4]) Christ affert A. P., II, 70: μέλος εὔυμνον ὑφαίνειν.

ταῖς πολυηράτοις τι κλεινὸν | ὀλβίαις Ἀθάναις, | εὐαίνετε Κηΐα μέριμνα:

B. I, 3 seq.: Πι]ερίδες | - -] ἐνυφαί[νετε δ' ὕμνους?:

carmen epinicium cum victoris corona componitur, videlicet Nem. VII, 77—9: εἴρειν στεφάνους ἐλαφρόν· ἀναβάλεο· Μοῖσά τοι | κόλλᾳ χρυσὸν ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾷ | καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ' ἐέρσας.

Confer etiam B. XVI, 50—2; XV, 23—5: Py. IV, 141 et 275, quibus locis translatio quidem textus continetur, at non tamen de carminum textu agitur.

5. Vocabulum γλῶσσα significatione minus propria dictum, quasi de telo aut nuntio aut alia quadam persona integra:

B. V, 195—7: πειθόμεθ' εὐμαρέως | εὐκλέα κελεύθου γλῶσσαν οὐ[κ ἐκτὸς θεῶν | πέμπειν Ἱέρωνι[1]):

Ol. IX, 40—2: (μὴ νῦν λαλάγει τὰ τοιαῦτ'· ἔα πόλεμον μάχαν τε πᾶσαν | χωρὶς ἀθανάτων·) φέροις δὲ Πρωτογενείας | ἄστει γλῶσσαν, ἵν' κτλ.[1]):

Nem. VII, 68—73: (μαθὼν δέ τις ἂν ἐρεῖ, | εἰ παρ μέλος ἔρχυμαι ψάγιον ὄαρον ἐννέπων.) | Εὐξενίδα πάτραθε Σώγενες, ἀπομνύω | μὴ τέρμα προβὰς ἄκονθ' ὥτε χαλκοπάραον ὄρσαι | θοὰν γλῶσσαν[1])· ὃ σ' ἐξέπεμψεν παλαισμάτων | αὐχένα καὶ σθένος ἀδίαντον, αἴθωνι πρὶν ἀελίῳ γυῖον ἐμπεσεῖν:

Isth. V, 46—8: πολλὰ μὲν ἀρτιεπὴς | γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων | κελαρύσαι.

B. IX, 51 seq.: τί μακρὰν γλῶσσαν ἰθύσας ἐλαύνω | ἐκτὸς ὁδοῦ[2]);

Ol. XIII, 11 seq.: ἔχω καλά τε φράσαι, τόλμα τέ μοι | εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν:

---

[1]) Jurenka, ad B. V, 93 (= v. 195), dicit: „Es liegt aber unserer Wendung das Bild von Pfeil zu Grunde, wie (B.) X, 42 (= IX, 51); dah. πέμπειν (Hes. theog. 716 πέτρας στιβαρῶν ἀπὸ χειρῶν πέμπον, bildl. Aesch. suppl. 1005 πᾶς τις ὄμματος θελκτήριον τόξευμ' ἔπεμψεν u. von der Rede Soph. Phil. 1445, Eur. Or. 616. — — — Zum Gedanken vgl. noch Pind. N. 7,71". Cf. Isth. V, 63: καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον. [2]) Vide supra p. 22.

Ol. XI, 8 seq.: τὰ μὲν ἁμετέρα | γλῶσσα ποιμαίνειν ἐθέλει.

6. Translatio teli, qua Pindarus non nunquam utitur, e. g. sagittae Ol. I, 114 seq., Ol. II, 98—100, Ol. IX, 5 seq. et 11 seq., Nem. I, 18, Nem. VI, 26—8, iaculi Nem. IX, 55 vel etiam disci Isth. II, 35—7, apud Bacchylidem non invenitur nisi in IX, 42 seq., ετεροσδεπιπαισι|ποικιλοντοξοντιτάινει, cuius loci quis sit sensus ego quidem parum compertum habeo[1]).

7. Poeta aquilae comparatus:

B. V, 16—31: βαθὺν | δ' αἰθέρα ξουθαῖσι τάμνων | ὑψοῦ πτερύγεσσι ταχεί αις αἰετὸς εὐρυάνακτος ἄγγελος | Ζηνὸς ἐρισφαράγου | θαρσεῖ κρατερᾶι πίσυνος ἰσχύϊ, πτάσσοντι δ' ὄρνι|χες λιγύφθογγοι φόβωι· | οὔ νιν κορυφαὶ μεγάλας ἴσχουσι γαίας, οὐδ' ἁλὸς ἀκαμάτας | δυσπαίπαλα κύματα· νωμᾶ|ται δ' ἐν ἀτρύτωι χάει | λεπτότριχα σὺν ζεφύρου πνοιαῖσιν ἔθειραν ἀρίγνω|τος μετ' ἀνθρώποις ἰδεῖν· | τὼς νῦν καὶ (ἐ)μοὶ κτλ.:

Nem. V, 19—21: μακρά μοι | αὐτόθεν ἅλμαθ' ὑποσκάπτοι τις· ἔχω γονάτων ἐλαφρὸν ὁρμάν· | καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί[2]). Cum Bacchylidis versibus 21—3 potissimum conferenda sunt haec quae sequuntur:

Nem. III, 80—2: ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς, ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος, δαφοινὸν ἄγραν ποσίν, et in primis

Ol. II, 94—7: σοφὸς ὁ πολλὰ Ϝειδὼς φυᾷ· | μαθόντες δὲ λάβροι | παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρυέτων[3]) Διὸς πρὸς ὄρνιχα θεῖον. Denique confer Py. V versus 111 seq., qui verbis quidem loco Bacchylideo persimiles sunt, sed non ad poetam spectant: θάρσος δὲ τανύπτερος | ἐν ὄρνιξιν αἰετὸς ἔπλετο[4]). (cf. B. vv. 18—23).

---

[1]) De hoc loco Bacchylideo vide quae supra pp. 9 seqq. dixi et de teli apud B. translatione quae ex Jurenkae commentario proxime (p. 26 an.) attuli.

[2]) Locos tres, Nem. V, 19, Nem. III, 80, Ol. II, 97 seqq., et insuper Isth. VI, 22 seq.: μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι | καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους confert Jurenka: Kenyon affert et Ol. II, 97 et Py. I, 1—10.

[3]) Bergk e coniectura atque Schroeder: Christ, librorum lectionem probans, scribit γαρύετον.

[4]) Cf. Isth. III, 65.

Ex aliorum poetarum carminibus affert Jurenka Alcaei frg. 27: ἔπταζον ὥστ' ὄρνιθες ὦκυν | αἴετον ἐξαπίνας φάνεντα, nec non Soph. Aias 169 seqq. et Alcm. frg. 28, quibus locis non aquila sed vultur (αἰγυπιός) vel accipiter (ἱέραξ) dicitur.

8. Translatio a p i s:

B. IX, 9—14: Ἀ[γλ]αῶι καὶ νῦν κασιγνήτας ἀκοίτας | ν α σ ι ῶ τ ι ν ἐ κ ί ν η σ ε ν λ ι γ ύ φ θ ο γ γ ο ν μ έ λ ι σ σ α ν, | ἀχ]ειρὲς ἵν' ἀθάνατον Μουσᾶν ἄγαλμα | ξυνὸν ἀνθρώποισιν εἴη | χάρμα, τεὰν ἀρετὰν | μανῦον ἐπιχθονίοισιν, ὅσσα Νίκας ἕκατι | ἄνθεσιν ξανθὰν ἀναδησάμενος κεφαλὰν | κῦδος εὐρείαις Ἀθάναις | θῆκας Οἰνείδαις τε δόξαν:

Py. X, 51—9: κώπαν σχάσον, ταχὺ δ' ἄγκυραν ἔρεισον χθονὶ | πρῴραθε, χοιράδος ἄλκαρ πέτρας. | ἐ γ κ ω μ ί ω ν γ ὰ ρ ἄ ω τ ο ς ὕ μ ν ω ν | ἐ π' ἄ λ λ ο τ' ἄ λ λ ο ν ὥ τ ε μ έ λ ι σ σ α θ ύ ν ε ι λ ό γ ο ν. | ἔλπομαι δ' Ἐφυραίων | ὄπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖαν προχεόντων ἐμὰν | τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς | ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις, | νέαισίν τε παρθένοισι μέλημα.

Locos allatos conferunt et Kenyon et Jurenka. Neque vero grave est quod ille ad locum Bacchylideum dicit: »The epithet λιγύφθογγος here seems to make the comparison relate to the voice of the bee, instead of to his collection of honey, in which case it is hardly felicitous.« At vocabulum λιγύφθογγος hic nihil aliud esse videtur nisi epitheton quod dicunt »o r n a n s«, quod pondere proprio omnino caret. Similia nomina adiectiva apud Bacchylidem permulta reperiuntur. Confer enim, exempli gratia, vocabulum καλυκοστεφάνους, X, 108[1]), quod de Proeti filiabus dicitur, quas Diana »i n s a n i a n e f a n d a« (μανιᾶν ἀθέων) liberavit, quamquam de iisdem in vv. 92—4 narrat poeta τρισκαίδεκα μὲν τελέους μῆνας κατὰ δάσκιον ἠλύκταζον ὕλαν φεῦγόν τε κατ' Ἀρκαδίαν.

9. F l o r e s: primum f l o r e s p o e s i s:

B. frg. 4, 1 seq.: τίκτει δέ τε θνατοῖσιν εἰρήνα μεγάλα | πλοῦτον μελιγλώσσων τ' ἀοιδᾶν ἄνθεα:

Ol. IX, 47—9: ἔγειρ' ἐπέων σφιν οἶμον λιγύν, | αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνον | νεοτέρων[2]).

[1]) Locum depravatum esse posse nunc monet Blass qui καλυκοστέφανος proponit. Cf. B. V, 98. Alia tamen huius rei exempla invenies in VIII, 32 et XII, 175. [2]) Jurenka.

B. XV, 5—10: εἶτ' ἄρ' ἐπ' ἀνθεμόεντι (που) Ἕβρωι | δάφναι ἀ]γάλλεται ἢ δολιχαύχενι κύκνωι, | ὄφρ' ἂν ἁ]δεῖαι φρένα τερπόμενος | ὀπὶ Πυθόα]δ' ἵκηι παιηόνων | ἄνθεα πεδοιχνεῖν, | Πύθι' Ἄπολλον:

Ol. VI, 105: ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος:

Isth. III, 44: ἔν τ' Ἀδραστείοις ἀέθλοις Σικυῶνος ὤπασεν | τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδῶν[1]).

Deinde flores victoriae, quorum imago evidenter a corona victoris ducitur:

B. XII, 58—63: θάλλει παρ]ὰ βωμὸν ἀριστάρχου Διὸς | Νίκας ἐ]ρ[ικ]υδέος ἀν|θρώπο]ισιν ἄνθεα, | ἃ κλυτ]ὰν δόξαν πολύφαντον ἐν αἰ|θέρι] τρέφει παύροις βροτῶν | αἰ]εί:

Nem. VI, 62 seq.: παῖ, σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν | κλᾶρος προπετὴς ἄνθε' Ὀλυμπιάδος:

Ol. II, 55 seq.: Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίππων δυωδεκαδρόμων | ἄγαγον:

Nem. II, 9: θαμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον.

Deinde flores felicitatis vel voluptatis:

B. III, 92—4: Ἱέρων, σὺ δ' ὄλβου | κάλλιστ' ἐπιδ[είξ]αο θνατοῖς | ἄνθεα:

Nem. VII, 52 seq.: κόρον δ' ἔχει | καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια:

Isth. V, 12 seq.: δύο δέ τοι ζωᾶς ἄωτον μοῦνα ποιμαίνοντι τὸν ἄλπνιστον εὐανθεῖ σὺν ὄλβῳ κτλ[2]).

B. V, 182—6: καὶ Πίσαν, ἔνθ' ὁ κλεεννός | ποσσὶ νικάσας δρόμωι | ἦλθ]εν Φερένικος (ἐς) εὐπύργους Συρακόσ|σας Ἱέρωνι φέρων | εὐδ]αιμονίας πέταλον:

10. Arta propinquitate cum praecedentibus coniuncti sunt loci quibus translatione arboris vel ramorum res praeclare gestae vel ipsa hominis praestantia depinguntur:

B. V, 197—200: τόθεν γὰρ | πυθμένες θάλλουσιν ἐσθλ[ῶν, | τοὺς ὁ μεγιστοπάτωρ | Ζεὺς ἀκινήτους ἐν εἰρήν[αι φυλάσσοι:

Nem. VIII, 40—2: αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον ᾄσσει, | ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε πρὸς ὑγρὸν | αἰθέρα[3]):

[1]) Cf. Nem. VII, 77—9. [2]) Blass. [3]) Cf. Py. IV, 130 seq., Py. I, 48 seq., et P. frg. 129,5.

Isth. III, 36: νῦν δ' αὖ μετὰ χειμερίων ποικίλα μηνῶν ζόφον χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις.

11. Deinde utrique poetae aqua una cum auro similitudines praebet, quamquam non eadem ratione prolatas. A Bacchylide enim ut exempla rerum, quae nunquam interiturae sunt, opponuntur humanae fragilitati: Pindaro contra exempla sunt rerum in suo genere optimarum, quarum comparatione illustrat ludos Olympicos et res praeclare gestas Theronis. His igitur praemissis, confer

B. III, 85—92: βαθὺς μὲν | αἰθὴρ ἀμίαντος· ὕδωρ δὲ πόντου | οὐ σάπεται· εὐχροσύνα δ' ὁ χρυσός· | (ἀνδρὶ δ' οὐ θέμις, πολιὸν π[αρ]έντα γῆρας, θάλειαν αὖτις ἀγκομίσσαι | ἥβαν.) ἀρετᾶ[ς γε μ]ὲν οὐ μινύθει βροτῶν ἅμα σ[ώμα]τι φέγγος, ἀλλὰ | Μοῦσά νιν τρ[έφει]:

Ol. I, 1—7: ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ | ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου· | εἰ δ' ἄεθλα γαρύειν | ἔλδεαι, φίλον ἦτορ, | (μηκέτ' ἀελίου σκόπει ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος,) | μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν[1]):

Ol. III, 42—4: εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοιέστατον, | νῦν γε πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται | οἴκοθεν Ἡρακλέος σταλᾶν[2]):

P. frg. 222: Διὸς παῖς ὁ χρυσός· | κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει — — — βροτέαν φρένα κάρτιστον κτεάνων[3]).

Imagines similes apud Theognidem quoque inveniuntur, sc. vv. 447—52: εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης | αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης. | εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον | χρυσόν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ, | τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰὸς | οὐδ' εὐρώς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν[4]).

---

[1]) Kenyon, Jurenka. [2]) Jurenka. Cf. etiam Ol. XI, 1 seq.
[3]) Piccolomini: Osservazione sopra le odi di B., p. 8. [4]) Blass. Confer etiam B, frg. 14.

12. Deinde duobus locis imago subest Lunae vel Luciferi, qui stellis antecellant eodem modo ac victor eiusve stirps aliis omnibus praestat:

B. VIII, 27—9: πενταέθλοισιν γὰρ ἐνέπρεπεν ὡς | ἄστρων διακρινεῖ φάει | νυκτὸς διχομηνίδος εὐφεγγὴς σελάνα:

Isth. III, 39—42: τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον | ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν | εὐκλέων ἔργων· ἐν ὕπνῳ γὰρ πέσεν, ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει, Ἀωσφόρος θαητὸς ὡς ἄστροις ἐν ἄλλοις[1]). Cf. etiam Ol. I, versus 5 – 7, quos modo attuli, μηκέτ' ἀελίου σκόπει | ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον κτλ.

13. Imaginem tempestatis, quam tandem serenitas sequitur, bis invenies, sc.

B. XII, 124—140, in primis vv. 138 seqq.: θεοῖσιν ἄντειναν χέρας, | φοιβὰν ἐσιδόντες ὕπαι | χειμῶνος αἴγλαν:

Isth. VII, 37—9: ἀλλὰ νῦν μοι Γαιάοχος εὐδίαν ὄπασσεν | ἐκ χειμῶνος[1]).

14. Denique afferenda est imago nubis, qua mortis tenebrae significantur:

B. XII, 63 seq.: καὶ ὅταν θανάτοιο · κυάνεον νέφος καλύψῃ κτλ.[2]).

Nem. IX, 37—9: παῦροι δὲ βουλεῦσαι φόνου | παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας | χερσὶ καὶ ψυχᾷ δυνατοί[3]).

III. Exempla in universum communis generis dicendi.

Praeter ea autem quae adhuc attuli, loci nonnulli inveniuntur qui, cum neque sententiam neque imaginem ullam vel locutionem translatam continent, praecedentibus adnumerari non possunt, sed tamen hic producendi esse videntur, quia et ipsi eius generis dicendi, quod Bacchylides cum Pindaro commune habebat, exempla sunt, et

[1]) Jurenka. [2]) Frequentissima haec imago: cf. e. g. Hom. Il. 16, 350; 17, 243; 20, 417. [3]) Cf. Isth. VII, 27—30.

ad supellectilem poetarum lyricorum pertinent. Quorum e numero sunt primum loci quidam quibus civitas beata describitur, deaeque indicuntur quibus ea felicitas debeatur, sc.

B, XIV, 53—61: ἀλλ' ἐν μέσωι κεῖται κιχεῖν | πᾶσιν ἀνθρώποις Δίκαν ἰθεῖαν, ἁγνᾶς | Εὐνομίας ἀκόλουθον καὶ πινυτᾶς Θέμιτος· | ὀλβίων παῖδές νιν αἱρεῦνται σύνοικον· | ἁ δ' αἰόλοις κέρδεσσι καὶ ἀφροσύναις | ἐξαισίοις θάλλουσ' ἀθαμβὴς | Ὕβρις, ἃ πλοῦτον δύναμίν τε θοῶς | ἀλλότριον ὤπασεν, αὖτις | δ' ἐς βαθὺν πέμπει φθόρον[1]):

Ol. XIII, 6—10: ἐν τᾷ (sc. Κορίνθῳ) γὰρ Εὐνομία ναίει, κασιγνήτα τε, βάθρον πολίων ἀσφαλές, | Δίκα καὶ ὁμότροφος Εἰρήνα, ταμίαι ἀνδράσι πλούτου, | χρύσεαι παῖδες εὐβούλου Θέμιτος· | ἐθέλοντι δ' ἀλέξειν | ὕβριν, κόρου ματέρα θρασύμυθον[2]):

B. XII, 182—9: καὶ μὰν φερεκυδέα ν[ᾶσον | Αἰακοῦ τιμᾶι, σὺν Εὐ|κλείαι δὲ φιλοστεφ[άνωι | πόλιν κυβερνᾶι, | Εὐνομία τε σαόφρων, | ἃ θαλίας τε λέλογχεν | ἄστεά τ' εὐσεβέων | ἀνδρῶν ἐν εἰρήναι φυλάσσει:

Ol. IX, 14—16: κλεινᾶς ἐξ Ὀπόεντος, (αἰνήσαις Ϝὲ καὶ υἱόν,) | ἃν Θέμις θυγάτηρ τέ Ϝοι Σώτειρα λέλογχεν | μεγαλόδοξος Εὐνομία[3]).

2. De ludis Olympicis: (a) Hieronis equorum victoriae:

B. III, 3—8: ὕμνει, γλυκύδωρε Κλειοῖ, θοάς τ' Ὀ|λυμπιοδρόμους Ἱέρωνος ἵππους. | σεύον]το γὰρ σὺν ὑπερόχωι τε Νίκαι | σὺν Ἀγλαΐαι τε παρ' εὐρυδίναν | Ἀλφεόν, τόθι Δ]εινομένεος ἔθηκαν | ὄλβιον [γόνον στεφάνω]ν κυρῆσαι:

B. V, 43—9: οὔπω νιν (sc. Φερένικον) ὑπὸ προτέρων | ἵππων ἐν ἀγῶνι κατέχρανεν κόνις | πρὸς τέλος ὀρνύμενον· | ῥιπᾶι γὰρ ἴσος βορέα | ὃν κυβερνήταν φυλάσσων | ἵεται νεόκροτον | νίκαν Ἱέρωνι φιλοξείνωι τιτύσκων:

Ol. I, 17—23: ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου | λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις | νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν, | ὅτε παρ' Ἀλφεῷ σύτο δέμας | ἀκέντητον ἐν δρόμοισι παρέχων, | κράτει δὲ προσέμιξε δεσπόταν, | Συρακόσιον ἱπποχάρμαν βασιλῆα[4]).

[1]) In Menelai oratione ad Troes haec inveniuntur. [2]) Kenyon, Jurenka.
[3]) Blass et Jurenka, qui etiam Isth. V, 22 laudat. Cf. porro Py. VIII, 1—12.
[4]) Locum affert Jurenka ad B. V, 21 (= v. 43).

(b) Loci alii, quibus de ludis Olympicis agitur:

B. VII, 53 seq.: ἐν Πέλοπος Φρυγίου | κλεινοῖς ἀέθλοις, et B. VII, 6—10: κρίνειν τα|χυτᾶτά τε| λαιψηρῶν ποδῶν | Ἕλλασι καὶ γυίων ἀρισταλκὲς σθένος· | ᾧι δὲ σὺ πρεσβύτατον νείμῃς γέρας νίκας ἔπ', ἀνθρώποισιν εὔδοξος κέκλη ται καὶ πολυζήλωτος:

Ol. I, 96—102: τὸ δὲ κλέος | τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις | Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται | ἀκμαί τ' ἰσχύος θρασύπονοι· | ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον | ἔχει μελιτόεσσαν εὐδίαν | ἀέθλων γ' ἕνεκεν[1]).

Porro de his ludis et rebus, quae ad eos pertinent, vide locos quos in capite altero afferam, B. VII, 48—52, Ol. III, 11—13; B. VII, 1—7, Ol. III, 19—22 et 36—8; B. X, 24—6 et 28 seq.

3. Descriptio certaminis ipsius et spectatorum coronae:

B. VIII, 30 - 35: τοῖος Ἑλλάνων δι' ἀπείρονα κύκλον | φαῖνε θαυμαστὸν δέμας, | δισκὸν τροχοειδέα ῥίπτων, καὶ μελαμφύλλου κλάδον ἀκτέας ἐς αἰπεινὰν προπέμπων αἰθέρ' ἐκ χειρὸς βοὰν ὤτρυνε λαῶν[2]):

Ol. IX, 91—4: φῶτας δ' ὀξυρεπεῖ δόλῳ | ἀπτῶτι δαμάσσαις | διήρχετο κύκλον ὅσσᾳ βοᾷ, | ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις.

4. Enumeratio aliarum victoriarum, quas victor, qui celebratur, reportavit:

B. IX, 29—35: δὶς δ' ἐ[ν Νεμέ]αι Κρονίδα Ζηνὸς παρ' ἁγνὸν | βωμό[ν· ἁ κλει]νά τε Θήβα | δέκτ[ο νιν ε]ὐρύχορόν | τ' Ἄργο[ς Σικυώ]ν τε κατ' αἶσαν· | οἵ τε Π[ελλάν]αν νέμονται, ἀμφί τ' Εὔβοιαν πολ[υλάϊο]ν, οἵ θ' ἱερὰν | νᾶσο[ν Αἴγιν]αν:

Ol. XIII, 29—46: (δέξαι δέ Ϝοι στεφάνων ἐγκώμιον τεθμόν, τὸν ἄγει πεδίων ἐκ Πίσας, | πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον· ἀντεβόλησεν | τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον.) δύο δ' αὐτὸν ἔρεψαν | πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν | φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ. | πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' Ἀλφεοῦ | ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται. Πυθοῖ τ' ἔχει σταδίου

[1]) Locum affert Jurenka ad B. V, 86 (= v. 180 seqq. [2]) Confer B. V 37—41 et IX, 19 - 24.

τιμὰν διαύλου τ' ἀελίῳ ἀμφ' ἑνί, μηνός τέ ϝοι | τωὐτοῦ κρανααῖς ἐν Ἀθάναισι τρία ϝέργα ποδαρκὴς | ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις· | Ἑλλώτια δ' ἑπτάκις. ἐν δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν | Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι | Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί. | ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε | ἠδὲ χόρτοις ἐν λέοντος, δηρίομαι πολέσιν | περὶ πλήθει καλῶν, ὡς μὰν σαφὲς | οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν.

Similia invenies in versibus eiusdem carminis Pindarici 97 seq., 101 seq. et 106—113. Hoc loco autem victoriae consanguineorum potius victoris commemorantur. Cuius generis haud scio an B. XIII, 40 seqq., versus valde mutili, fuerint.

5. De coronis:

B. X, 17—21: πολέες | δ' ἀμφ' Ἀλεξίδαμον ἀνθέων | ἐν πεδίωι στέφανοι | Κίρρας ἔπεσον κρατερᾶς ἦρα παννίχοιο πάλας:

Py. IX, 123—5: πολλὰ μὲν κεῖνοι δίκον | φύλλ' ἔπι καὶ στεφάνους, | πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο Νίκας,

De quibus locis dicit Fraccaroli[1]): „I vv. 17 – 21 (sc. carminis Bacchylidei) ricordano un luogo analogo della P. IX, dove un altro Alessidamo (il nome può aver richiamato l' imagine) riceve dai suoi per la vittoria la stessa accoglienza“.

6. Optationes piae:

B. V, 36: εὖ ἔρδων δὲ μὴ κάμοι θεός:

B. XIII, 18: εὖ ἔρδοντα δὲ καὶ θεὸς ὀ[ρθοῖ:

Ol. VIII, 28 seq.: ὁ δ' ἐπαντέλλων χρόνος | τοῦτο πράσσων μὴ κάμοι:

Ol. VI, 97: μὴ θράσσοι χρόνος ὄλβον ἐφέρπων[2]):

Py. I, 46: εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύνοι, καμάτων δ' ἐπίλασιν παράσχοι.

---

[1]) Rivista di Filologia, XXVI, 1 p. 35.

[2]) Jurenka.

7. Verba quibus poeta chorum inclamat ut canant:

B. XII, 190—2: νίκαν τ' ἐρικυδέα μέλπετ', ὦ νέοι, | Πυθέα, μελέταν τε βροτωφελέα Μενάνδρου:
B. VIII, 101—4: ὤι] τι καλὸν φέ|ρεται, | τουτ'] αἰνέοι Τιμοξ|ένου| πα|ιδὶ σὺν κώ|μοις ἁμαρ|τέ|οιτε πεντ|άθλου (Ϝ)έκατι:

Isth. VIII, 1—5: Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον | εὔδοξον, ὦ νέοι, καμάτων, | πατρὸς ἀγλαὸν Τελεσάρχου παρὰ πρόθυρον ἰὼν ἀνεγειρέτω | κῶμον, Ἰσθμιάδος τε νίκας ἄποινα, καὶ Νεμέᾳ | ἀέθλων ὅτι κράτος ἐξεῦρε.

8. Clausulae:

B. XVI, 130—2: Δάλιε, χοροῖσι Κηΐων | φρένα ἰανθεὶς | ὄπαζε θεόπομπον ἐσθλῶν τύχαν:

Ol. XIII, 115: Ζεῦ τέλει', αἰδῶ δίδοι καὶ τύχαν τερπνῶν γλυκεῖαν[1]):
Ol. VI, 105: ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος[2]).

IV. Locutiones singulae et nomina adiectiva.

Reliquum est ut in hoc capite priore locos percenseamus, quorum non sensus universus similis est, sed quibus locutiones quaedam singulae, utrique poetae communes, vel nomina adiectiva quae dicuntur e p i t h e t a minus usitata continentur. Quae locutiones cum prorsus inter se diversae sint, neque possint in genera distribui, simpliciter eas deinceps proferam, nullis titulis adscriptis:

1. B. VIII, 3: Μουσᾶν γε Ϝιοβλεφάρων θεῖος π ρ ο φ ά τ α ς:
Cf. etiam B. IX, 27 seq.: δὶς ν[ιν ἀγκ]άρυξαν εὐβούλων [◡ - -]ων προφᾶται.

P. frg. 90,5: ἀοίδιμον Πιερίδων π ρ ο φ ά τ α ν[3])
Cf. etiam P. frg. 150: Μαντεύεο, Μοῖσα, π ρ ο φ α τ ε ύ σ ω δ' ἐγώ.

2. B. XIV, 49: εὐπέπλοισι κ ο ι ν ώ σ α ς Χάρισσιν:

Py. IV, 115: νυκτὶ κοινώσαντες ὁδόν[4]).

3. B. V, 9 seqq.: ἢ σ ὺ ν Χ α ρ ί τ ε σ σ ι β α θ υ ζ ώ ν ο ι ς ὑφάνας | ὕμνον κτλ.

Py. IX, 2 seq.: σ ὺ ν β α θ υ ζ ώ ν ο ι σ ι ν ἀγγέλλων | Τελεσικράτη Χ α ρ ί τ ε σ σ ι γεγωνεῖν[5]).

---

[1]) Jurenka (Sitzler). [2]) Jurenka (Sitzler), qui praeter ea affert Hom. hymn. 5, 494; 11, 5; 15, 9. [3]) Jurenka. [4]) Kenyon. [5]) Fraccaroli.

Cf. B. IX, 39 seq.: Χαρίτων τιμᾶν λελογχὼς | ἐλπίδι χρυσέαι τέθαλεν.

Cf. Nem. X, 38: εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις θαμάκις, et
Ol. VII, 93 seq.: Ἐρατιδᾶν τοι σὺν Χαρίτεσσιν ἔχει | θαλίας καὶ πόλις·

4. B. V, 14—6: ἐθέλει (sc. Οὐρανίας θεράπων, i. e. poeta ipse) δὲ | γᾶρυν ἐκ στηθέων χέων | αἰνεῖν Ἱέρωνα.

Py. IX, 1—3: ἐθέλω — — — Τελεσικράτη — γεγωνεῖν.

5. B. VII, 41—3: γᾶι δ' ἐπισκήπτων χέρα | κομπάσομαι· σὺν ἀλαθείαι δὲ πᾶν λάμπει χρέος[1]), et
B. V, 42: γᾶι δ' ἐπισκήπτων πιφαύσκω:

Ol. II, 99—101: ἐπί τοι | Ἀκράγαντι τανύσαις | αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ[5]), et
Ol. VI, 20 seq.: καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ Ϝοι σαφέως | μαρτυρήσω[2]).

Confer autem locum Homericum, Il. XIV, 271—4: ἄγρει νῦν μοι ὄμοσσον ἀνάαστον Στυγὸς ὕδωρ, | χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν, | τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶιν ἅπαντες | μάρτυροι ὦσ' οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες, κτλ.[3]).

6. B. III, 85: φρονέοντι συνετὰ γαρύω:

Ol. II, 91—3: πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη | ἔνδον ἐντὶ φαρέτρας | φωνάεντα συνετοῖσιν[4]).

Cf. Aesch. Hik. 742: καὶ λέγω πρὸς εἰδότα.

7. ἄγαλμα = carmen: B. V, 4: Μοισᾶν γλυκύδωρον ἄγαλμα, et
B. IX, 11: ἀθάνατον Μουσᾶν ἄγαλμα:

Nem. VIII, 14—6: φέρων | Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν, | Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.

8. B. epigr. I, 3 seq.: πολέας δ' ἐν ἀθύρμασι Μουσᾶν | Κηΐωι ἀμφιτίθει Βακχυλίδηι στεφάνους, et

Py. V, 22 seq.: δέδεξαι τόνδε κῶμον ἀνέρων, | Ἀπολλώνιον ἄθυρμα[5]).

[1]) Cf. B. III, 96 seqq., et VIII, 85 seqq. [2]) Jurenka, qui praeter hos locos duos Nem. XI, 24 affert. [3]) Headlam. [4]) Jurenka.
[5]) Jurenka ad B. XVIII, 42 (= XVII, 57).

B. VIII, 87: Μουσᾶν |βαθυζώνων ἄθυ|ρμα: Cf. etiam B. XVII, 57 seq.: ἀρηΐων δ' ἀθυρμάτων | μεμνᾶσθαι.	
9. B. II, 12: γλυκεῖαν αὐλῶν καναχάν[1]):	Py. 10, 39: λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν.
10. B. XIII, 8—11: μία (sc. ἀρετά) δ' ἐ[ς | ξυνὸ]ν πρόκειται, | ἃι τὰ] π ὰ ρ χ ε ι ρ ὸ ς κυβερνᾶ[ται δι]καίαισι φρένεσσιν:	Py. III, 59 seq.: χρὴ τὰ ϝεοικότα παρ δαιμόνων μαστευέμεν θναταῖς φρασίν, | γνόντα τὸ παρ ποδός, οἵας εἰμὲν αἴσας[2]). Cf. Py. X, 62: τυχών κεν ἁρπαλέαν σχέθοι φροντίθα τὰν παρ ποδός[2]).
11. B. IX, 20: ποδῶν ὁρμὰν ταχεῖαν: Cf. Eurip. Electra, 112: σύντειν', ὥρα, ποδὸς ὁρμάν[2]).	Nem. V, 20: γονάτων ἐλαφρὸν ὁρμάν[2]).
12. B. VIII, 82—4: τό [γέ] τοι καλὸν ἔργον | γνησίων ὕμνων τυχὸν | ὑ ψ ο ῦ π α ρ ὰ δ α ί μ ο σ ι κ ε ῖ τ α ι:	Ol. XI, 4—8: εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσῃ, μελιγάρυες ὕμνοι ὑστέρων ἀρχὰ λόγων | τέλλεται — — —. | ἀ φ θ ό ν η τ ο ς δ' α ἶ ν ο ς Ὀλυμπιονίκαις | ο ὗ τ ο ς ἄ γ κ ε ι τ α ι: Ol. XIII, 35 seq.: πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' Ἀλφεοῦ | ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται[3]): Isth. V, 17—9: τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά, | Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν, Πυθέᾳ τε, παγκρατίου[3]).
13. B. VII, 42 seq: σὺν ἀλαθείαι δὲ πᾶν λάμπει χρέος: B. IX, 1—8: Φή[|μα, σὺ γ[ὰ]ρ	Isth. I, 22 seq.: λάμπει δὲ σαφὴς ἀρετὰ | ἔν τε γυμνοῖσι σταδίοις σφίσιν κτλ.

[1]) Cf. B. XIII, 12—6. [2]) Jurenka. [3]) Locos duos affert Jurenka, et Py. VI, 7—9: ἑτοῖμος ὕμνων \| θησαυρὸς ἐν πολυχρύσῳ \| Ἀπολλωνίᾳ τετείχισται νάπᾳ.

ἀ[μφ' ἀρετᾶι θνατῶν ἐπ]οιχνεῖς | φῦ]λα, καὶ πᾶ[σιν τίθησθα | τηλό]σε λαμπ[ομέναν ¦ κτλ.[1]).	Cf. Ol. IV, 11: χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν.
14. B. XVI, 68–71: ὑπέροχόν τε Μίνωι φύτευσε (sc. Ζεύς) τιμὰν φίλον θέλων | παῖδα πανδερκέα θέμεν, | ἄστραψε θ':	Isth. VI, 12: σύν τέ Ϝοι δαίμων φυτεύει δόξαν ἐπήρατον[2]): Py. IV, 69: θεόπομποί σφισιν τιμαὶ φύτευθεν[3]): P. frg. 141: θεὸς ὁ τὰ πάντα τεύχων βροτοῖς | καὶ χάριν ἀοιδᾷ φυτεύει[2]).
15. B. VIII, 50–2: ἃς (sc. Θήβαν et Αἴγιναν) θεοὶ | σὺν τύχαις ὤικισσαν ἀρχα|γοὺς ἀπορθήτων ἀγυιᾶν:	Isth. VIII, 19 seq.: ὃ (sc. Ζεύς) τὰν μὲν (sc. Θήβαν) παρὰ καλλιρόῳ ¦ Δίρκᾳ φιλαρμάτου πόλιος ᾤκισσεν ἁγεμόνα.
16. B. VIII, 98 seq.: θεοτίματον πόλιν | ναίειν ἀπο[ρθήτους: B. X, 60 seq.: θεοφιλὲς λιπόντες Ἄργος | ναῖον κτλ.	Isth. VI, 65 seq.: τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον τάνδε πόλιν ¦ θεοφιλῆ ναίοντι.
17. B. XVIII, 6–8: Χάριτες ¦ βάλωσιν ἄμφι τιμὰν | ὕμνοισιν:	Py. V, 31: γέρας ἀμφέβαλε τεαῖσιν κόμαις.
18. B. III, 13 seq.: μελαμ¦φαρέϊ κρύπτειν σκότωι: B. XV, 32 seq.: δνόφεόν τε κάλυμμα τῶν | ὕστερον ἐρχομένων: B. XII, 176 seq.: Ἀρετὰ | κρυφθεῖσ' ἀμαυρο[ῦται δνόφοισιν.	P. frg. 142,3: κελαινεφεῖ δὲ σκότει καλύψαι.
19. B. III, 53 seq.: δεινοῦ πυρὸς | λαμπρὸν διάϊ[σσεν μέ]νος:	P. frg. 129,1: λάμπει μὲν μένος ἀελίου.

[1]) Cf. B. XII, 175–81. [2]) Fraccaroli. [3]) Fraccaroli, et Blass ad B. XVI, 132: ὄπαζε θεόπομπον ἐσθλῶν τύχαν.

20. B. V, 80: γελανώσας τε θυμόν:	Py. IV, 181: ἑκὼν θυμῷ γελανεῖ. Cf. Ol. V, 2: καρδίᾳ γελανεῖ.
21. B. I, 162 seq.: ἐθέλει (sc. ὁ πλοῦτος) δ' αὔξειν φρένας ἀνδρός: B. IX, 45: θυμὸν αὔξουσιν[1]).	P. frg. 218,5: ἀέξονται φρένας[1]).
22. B. XII, 220 seq.: ἐλπίδι θυμὸν ἰαίν|ε|ται: B. XVI, 130 seq.: Δάλιε, — — φρένα ἰανθείς:	Ol. VII, 43: πατρί τε θυμὸν ἰάναιεν: Py. I, 11 seq.: ἰαίνει (sc. Ἄρης) καρδίαν | κώματι.
23. B. I, 179: θυμὸν δονέουσι μέριμναι:	Nem. VI, 55 seq.: τὸ δὲ παρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων | λέγεται παντὶ μάλιστα δονεῖν | θυμόν.
24. B. XVI, 8—10: κνίσεν τε Μίνωϊ κέαρ | ἱμεράμπυκος θεᾶς Κύπριδος ἁγνὰ δῶρα:	Py. X, 60: ἑτέροις ἑτέρων ἔρως ὑπέκνιξε φρένας: Isth. VI, 50: ἀδεία δ' ἔνδον νιν ἔκνιξεν χάρις.

Cf. Hdt. VI, 62: τὸν δὲ Ἀρίστωνα ἔκνιζε ἄρα τῆς γυναικὸς ταύτης ὁ ἔρως[1]).

25. B. XVI, 21—3: ὅσιον οὐκέτι τεᾶν | ἔσω κυβερναῖς φρενῶν | θυμόν:	P. frg. 214, 3 seq.: ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ.
26. B. III, 67 seq.: ὅσ'τις μὴ φθόνωι πιαίνεται:	Py. II, 55 seq.: ψογερὸν Ἀρχίλοχον, βαρυλόγοις ἔχθεσιν | πιαινόμενον[2]). (Cf. Nem. VIII, 21: ὄψον δὲ λόγοι φθονεροῖσιν[3]).
27. B. III, 49: ἅπτειν ξύλινον δόμον (i. e. rogum):	Py. III, 38 seq.: ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ ' σύγγονοι κούραν[4]).

[1]) Blass. [2]) Mezger ad P. Py. X, 60. [3]) Blass et Jurenka.
[4]) Headlam, qui affert praeter ea Stob. Flor. 38,6. [5]) Nairn.

28. B. V, 66 seq.: Ἴδας ἀνὰ μηλοβότους πρῶνας ἀργηστάς:

Nem. IV, 52: βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται.

29. B. VIII, 15—7: οὔ νιν | πεῖθ' Ὀϊκλείδας πάλιν | στείχειν ἐς εὐάνδρους ἀγυιάς:

Py. VIII, 54 seq.: ἀφίρεται λαῷ σὺν ἀβλαβεῖ | Ἄβαντος εὐρυχόρους ἀγυιάς.

De Adrasto nempe atque Argis utroque loco agitur

B. IX, 31 seq.: ε]ὐρύχορόν τ' Ἄργο[ς.

Cf. Py. I, 40: τιθέμεν εὔανδρόν τε χώραν: de Sicilia dicit poeta.

30. Delphi:

B. IV, 4: π[αρ' ὀμφα]λὸν ὑψιδείρου χθονός, et

B. IV, 14: ἀγχιάλοισι Κίρρας μυχοῖς:

Py. VIII, 59: ἅς γὀμφαλὸν παρ' ἀοίδιμον,

Py. VIII, 63: Πυθῶνος ἐν γυάλοις,

Py. X, 8: ὁ Παρνάσιος—μυχός,

Py. VI, 3 seq.: ὀμφαλὸν ἐριβρόμου | χθονός, et

Nem. VII, 33 seq.: παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου | μολὼν χθονός, ἐν Πυθίοισι δὲ δαπέδοις[1]).

31. B. XII, 138: θεοῖσιν ἄντειναν χέρας:

Isth. VI, 41: ὁ δ' ἀνατείναις οὐρανῷ χεῖρας.

32. B. XVI, 1—4: κυανόπρωιρα μὲν ναῦς — — — — (v. 4) Κρητικὸν τάμνε πέλαγος:

Py. III, 68: καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τέμνων θάλασσαν.

33. B. X, 117: χρυσέα δέσποινα λαῶν (sc. Diana):
δέσποινα Dianae cognomen erat, quod in cultu usurpabatur.

Py. IX, 7: δέσποιναν χθονός (sc. Cyrenam).

34. B. V, 181: Πέλοπός τε βίαν:

Nem. V, 12: καὶ βία Φώκου κρέοντος.

Py. XI, 61: καὶ Κάστορος βίαν.

Isth. VIII, 54: Μέμνονός τε βίαν.

[1]) Jurenka.

